Α' ΑΝΤΙΦΩΝΟΝ - Ψαλμός ΡΒ'

Στίχος α'. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον καί, πάντα τὰ ἐντός μου, τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ. (ρβ', 1)

Στίχος β'. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ. (ρβ', 2)

Στίχος γ'. Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει. (ρβ', 19)

Στίχος δ'. Εὐλογεῖτε τὸν Κύριον, πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ. (ρβ', 22)

Ἦχος Δι



Τὸ τελικὸν

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.
Καὶ νῦν καὶ ἀει καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.